γὰρ ἡσυχία), καὶ στιγμὴ ἐν γραμμῇ καὶ μονὰς ἐν ἀριθμῷ· ἑκάτερον γὰρ ἀρχή. ὥστε τὸ κοινὸν ἐπὶ πάντων γένος ἀποδιδόντες δόξομεν οὐκ ἀλλοτρίως ὁρίζεσθαι. σχεδὸν δὲ καὶ οἱ ὁριζόμενοι οὕτως εἰώθασιν ἀποδιδόναι· τήν τε γὰρ μονάδα ἀρχὴν ἀριθμοῦ φασιν εἶναι καὶ τὴν στιγμὴν ἀρχὴν γραμμῆς. δῆλον οὖν ὅτι εἰς τὸ κοινὸν ἀμφοτέρων γένος τιθέασιν.

Τὰ μὲν οὖν ὄργανα, δι' ὧν οἱ συλλογισμοί, ταῦτ' ἐστιν· οἱ δὲ τόποι, πρὸς οὓς χρήσιμα τὰ λεχθέντα, οἵδε εἰσίν.

# B

Ἔστι δὲ τῶν προβλημάτων τὰ μὲν καθόλου τὰ δ' ἐπὶ 1
μέρους. καθόλου μὲν οὖν οἷον ὅτι πᾶσα ἡδονὴ ἀγαθὸν καὶ ὅτι οὐδεμία ἡδονὴ ἀγαθόν· ἐπὶ μέρους δὲ οἷον ὅτι ἔστι τις ἡδονὴ ἀγαθὸν καὶ ἔστι τις ἡδονὴ οὐκ ἀγαθόν. ἔστι δὲ πρὸς 109a
ἀμφότερα τὰ γένη τῶν προβλημάτων κοινὰ τὰ καθόλου κατασκευαστικὰ καὶ ἀνασκευαστικά· δείξαντες γὰρ ὅτι παντὶ ὑπάρχει, καὶ ὅτι τινὶ ὑπάρχει δεδειχότες ἐσόμεθα· ὁμοίως δὲ κἂν ὅτι οὐδενὶ ὑπάρχει δείξωμεν, καὶ ὅτι οὐ παντὶ ὑπάρχει δεδειχότες ἐσόμεθα. πρῶτον οὖν περὶ τῶν καθόλου ἀνασκευαστικῶν ῥητέον διά τε τὸ κοινὰ εἶναι τὰ τοιαῦτα πρὸς τὰ καθόλου καὶ τὰ ἐπὶ μέρους, καὶ διὰ τὸ μᾶλλον τὰς θέσεις κομίζειν ἐν τῷ ὑπάρχειν ἢ μή, τοὺς δὲ διαλεγομένους ἀνασκευάζειν. ἔστι δὲ χαλεπώτατον τὸ ἀντιστρέφειν τὴν ἀπὸ τοῦ συμβεβηκότος οἰκείαν ὀνομασίαν· τὸ γὰρ πῇ καὶ μὴ καθόλου ἐπὶ μόνων ἐνδέχεται τῶν συμβεβηκότων. ἀπὸ μὲν γὰρ τοῦ ὅρου καὶ τοῦ ἰδίου καὶ τοῦ γένους ἀναγκαῖον ἀντιστρέφειν. οἷον εἰ ὑπάρχει τινὶ ζῴῳ πεζῷ δί-

---

26 post [1]καὶ add. ὅτι ABCP om. u ‖ ante στ. add. ὡς, [2]καὶ om. C (similiter A[p]) 28 οὐκ ἀλλοτρίως δόξομεν C 29 οἱ om. A 32 καὶ τὰ μὲν ὄργανα Al[c] 33 προειρημένα Al[p] Bo 35 [2]ὅτι om. P 109a 1 post καὶ add. ὅτι C 1. 2 πρὸς ἀμφότερα om. C 3 ἀνασκευαστικὰ καὶ κατασκευαστικά C ‖ καὶ Al[c] (etiam 279, 28) τε καὶ Al[1] *et—et* Bo 5 ὑπάρχῃ B, corr. A ὑπάρχειν C ‖ ὅτι τινὶ οὐχ ὑπάρχειν C 6 πρῶτον μὲν οὖν CP 8 πρὸς τὸ corr. P 14 πεζῷ om. C

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408701080/49 UNIVERSITÄT LEIPZIG